Liceo Ginnasio Statale
"Dante Alighieri"
Ravenna

PROVINCIA DI RAVENNA

FONDAZIONE CASSA DI RISPARMIO DI RAVENNA

# Il Agone Placidiano

**30 aprile 2010**

## L'educazione delle giovani spartane

*La prima ragione della potenza di Sparta va individuata nelle peculiari norme e tradizioni riguardanti la generazione dei figli, da cui conseguiva una condizione femminile radicalmente diversa rispetto a quella delle altre città greche.*

᾿Αλλ᾿ ἐγὼ ἐννοήσας ποτὲ ὡς ἡ Σπάρτη τῶν ὀλιγανθρωποτάτων πόλεων οὖσα δυνατωτάτη τε καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη, ἐθαύμασα ὅτῳ ποτὲ τρόπῳ τοῦτ᾿ ἐγένετο· ἐπεὶ μέντοι κατενόησα τὰ ἐπιτηδεύματα τῶν Σπαρτιατῶν, οὐκέτι ἐθαύμαζον. Αὐτίκα γὰρ περὶ τεκνοποιίας, ἵνα ἐξ ἀρχῆς ἄρξωμαι, οἱ μὲν ἄλλοι τὰς μελλούσας τίκτειν καὶ καλῶς δοκούσας κόρας παιδεύεσθαι καὶ σίτῳ[1] ᾗ ἀνυστὸν[2] μετριωτάτῳ τρέφουσι καὶ ὄψῳ[1] ᾗ δυνατὸν[2] μικροτάτῳ. Ὥσπερ δὲ οἱ πολλοὶ τῶν τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κόρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι. Τὰς μὲν οὖν οὕτω τρεφομένας πῶς χρὴ προσδοκῆσαι μεγαλεῖον ἄν τι γεννῆσαι· ὁ δὲ Λυκοῦργος ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο εἶναι, ταῖς δ' ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν τεκνοποιίαν πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλου· ἔπειτα δὲ δρόμου καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ἐξ ἀμφοτέρων ἰσχυρῶν καὶ τὰ ἔκγονα ἐρρωμενέστερα γίγνεσθαι.

Πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ ὁπότε βούλοιντο ἕκαστοι γυναῖκα ἄγεσθαι, ἔταξεν ἐν ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ τοῦτο συμφέρον τῇ εὐγονίᾳ νομίζων.

Xenophon, *De republica Lacedaemoniorum*

[1] Il σῖτος è il nutrimento di base dell'alimentazione greca (cereali, orzo, etc.), mentre ὄψον è utilizzato per indicare cibo o pietanze cotte o preparate in altro modo.

[2] ᾗ ἀνυστὸν … ᾗ δυνατὸν: forme avverbiali "il più possibile", "quanto più possibile" .

I partecipanti dovranno svolgere una traduzione in italiano del testo proposto, accompagnata da un commento che lo inquadri nel suo contesto storico-culturale e ne analizzi le scelte di lingua e di stile.

Durata massima: 4 ore.